www.tezaurliturgic.ro

Ὁ Κανὼν τοῦ Ἁγίου Ἀποστόλου Θωμᾶ, σὺν τοῖς δυσὶν αὐτοῦ μεγαλυναρίοις, ποίημα ἐστὶ τοῦ Ὁσιολογιωτάτου ἐν Διακόνοις Κυρίου Γαβριὴλ τοῦ Κώου, μαθητεύσαντος ποτε ἐν τῇ κατὰ Πάτμον Σχολῇ, ὕστερον δὲ γενομένου Ἀρχιεπισκόπου Ἀγαθοπόλεως.

*Ἔκδοσις Ἱ. Ναοῦ ΑΓ. ΜΑΡΙΝΗΣ*
*ΑΝΘΟΥΠΟΛΕΩΣ – ΠΕΡΙΣΤΕΡΙΟΥ*

www.tezaurliturgic.ro

## ΠΡΟΛΟΓΟΣ

Εἰς τό Σεβάσμιον τῆς Ὀρθοδοξίας προπύργιον εἰς τήν Ἱεράν, Βασιλικήν, Πατριαρχικήν καί Σταυροπηγιακήν Μονήν τοῦ Ἁγίου ἐνδόξου Ἀποστόλου καί Εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου τῆς ἱερᾶς νήσου Πάτμου ἀπ᾽ αἰώνων φυλάσσεται «ὡς πανίερον χρῆμα καί κειμήλιον ἔνθεον» ἡ Ἐρίτιμος καί θαυματουργός κάρα τοῦ Ἁγίου ἐνδόξου Ἀποστόλου Θωμᾶ προχέουσα εἰς τούς ἐν πίστει καί εὐλαβεία ἀσπαζομένους αὐτήν πλούσιαν χάριν, ἄφατον παρηγορίαν καί ποικίλας ἰάσεις.

Διακαής πόθος καί εὐσεβής ἐπιθυμία τοῦ εὐσεβοῦς πληρώματος τῆς Ἱερᾶς καί Θεοσώστου Μητροπόλεως Περιστερίου ἦτο ἀπό καιροῦ ἵνα μεταφερθῆ ἐν ἡμῖν ὁ Ἱερός οὗτος θησαυρός τῆς Ὀρθοδόξου Ἐκκλησίας καί Πίστεώς μας πρός προσκύνησιν καί ἁγιασμόν.

Τῆς ἱερᾶς ταύτης ἐπιθυμίας διακατεχόμενος καί ὁ Σεπτός ἡμῶν Ποιμενάρχης κ.κ. Χρυσόστομος, ὡς ἔχων ἰδιαιτέρους καί ἀδιαρρήκτους δεσμούς ἀπό τῶν μαθητικῶν αὐτοῦ χρόνων ἠτήσατο παρά τῷ Θεοφιλεστάτῳ Καθηγουμένῳ τῆς Ἱερᾶς καί Σεβασμίας ἀδελφότητος τῆς Ἱερᾶς Μονῆς Πάτμου τήν μεταφοράν αὐτῆς.

www.tezaurliturgic.ro

Ἀνταποκρινομένη δέ ἡ Σεβασμία Μονή τῆς Πάτμου συμφώνῳ γνώμη τῆς Ἱερᾶς Ἀδελφότητος τοῦ Μαθητοῦ τῆς ἀγάπης τῷ αἰτήματι τούτῳ ἀφικνεῖται ὁ πολύτιμος οὗτος θησαυρός εἰς Περιστέριον.

Ἐπί τῇ δοθησομένῃ δέ εὐκαιρίᾳ ταύτῃ ἐκρίναμεν σκόπιμον νά θέσωμεν εἰς κυκλοφορίαν τόν Κατανυκτικόν Παρακλητικόν Κανόνα τοῦ Ἁγίου ἐνδόξου Ἀποστόλου Θωμᾶ τόν ψαλλόμενον πρό τῆς Τιμίας Κάρας Αὐτοῦ, εὐχόμενοι ὅπως Κύριος ὁ Θεός διά μεσιτειῶν καί πρεσβειῶν τοῦ Ἀποστόλου Αὐτοῦ Θωμᾶ ἐπιδαψιλεύῃ πλουσίαν τήν χάριν καί εὐλογίαν εἰς τούς ἀσπαζομένους καί τιμῶντας τήν Πανσεβάσμιον Κάραν Αὐτοῦ.

*Ἐν τῇ Ἱερᾷ Μητροπόλει Περιστερίου τῇ 8ῃ Μαΐου 1992*

*Ὁ Ἱ. Προϊστάμενος τοῦ Ναοῦ*

*Ἀρχιμ. Πλάτων Κρικρῆς*

www.tezaurliturgic.ro

*Εὐλογήσαντος τοῦ Ἱερέως, ἀρχόμεθα τοῦ «Κύριε εἰσάκουσον τῆς προσευχῆς μου.» Εἶτα τό «Θεός Κύριος» (δ΄), καί τά παρόντα τροπάρια.*

Ἦχος δ΄

Τῇ Θεοτόκῳ ἐκτενῶς νῦν προσδράμωμεν, ἁμαρτωλοί καί ταπεινοί καί προσπέσωμεν, ἐν μετανοίᾳ κράζοντες ἐκ βάθους ψυχῆς. Δέσποινα βοήθησον, ἐφ' ἡμῖν σπλαχνισθεῖσα, σπεῦσον ἀπολλύμεθα ὑπό πλήθους πταισμάτων. Μή ἀποστρέψῃς σούς δούλους κενούς, σέ γάρ καί μόνην ἐλπίδα κεκτήμεθα.

Δόξα

Ἦχος α΄

Ὡς πανίερον χρῆμα καί κειμήλιον ἔνθεον, τεθησαυρισμένη ὑπάρχει ἡ ἐρίτιμος Κάρα Σου, Πανένδοξε Ἀπόστολε Θωμᾶ, Μονῇ τῇ τῆς Πάτμου, εὐλαβῶς δεομένη σου Τρισμάκαρ, μετά τῶν πίστει προσιόντων καί βοώντων Σοι. Δόξα τῷ ψηλαφηθέντι ὑπό Σοῦ. Δόξα τῷ Σέ θαυμαστώσαντι. Δόξα τῷ ἀποσοβοῦντι διά Σοῦ, πληγήν πᾶσαν θεήλατον.

Καί νῦν

Οὐ σιωπήσωμεν ποτέ Θεοτόκε, τάς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι. Εἰ μή γάρ σύ προΐστασο πρεσβεύουσα τίς ἡμᾶς ἐρρύσατο,

www.tezaurliturgic.ro

ἐκ τοσούτων κινδύνων, τίς δέ διεφύλαξεν ἕως νῦν ἐλευθέρους. Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ, σούς γάρ δούλους σώζεις ἀεί ἐκ παντοίων δεινῶν.

Εἶτα ὁ Ν΄ ψαλμός.

Ἦχος πλ΄ δ΄. Ὠδή α΄. Ὑγράν διοδεύσας

Απόστολε ἔνδοξε τοῦ Χριστοῦ, Θωμᾶ θεηγόρε, τούς τιμῶντας Σε εὐλαβῶς, πάντας διαφύλαξον λιταῖς Σου, ταῖς πρός τόν Πλάστην Χριστόν καί Δεσπότην Σου.

Η θεῖα Σου Κάρα Θωμᾶ πιστοῖς, βρύει τάς ἰάσεις προσιοῦσι ταύτῃ Σοφέ, καί πάθη ψυχῶν τε καί σωμάτων ὡς ἰατρός θεραπεύεις Πανάριστος.

Τούς τήν θείαν Κάραν Σου εὐλαβῶς, Πάνσοφε τιμῶντας, καί τήν λύσιν τῶν συμφορῶν, ἐξ αὐτῆς αἰτοῦντας Χριστοκήρυξ, πάσης ἀνάγκης ἐλευθέρωσον.

Δυσώπει Παρθένε τόν Σόν Υἱόν, σύν τῷ Ἀποστόλῳ νεκρωθεῖσαν μου τήν ψυχήν, ζωῶσαι ὁ πάλαι τόν τῆς χήρας, υἱόν ζωώσας τῷ Θείῳ προστάγματι.

Ὠδή γ΄. Οὐρανίας ἁψῖδος

Εὐμενῆ σε προστάτην, πρός τόν Θεόν Ἔνδοξε, πάντες προβαλλόμεθα μάκαρ Θωμᾶ

www.tezaurliturgic.ro

Ἀπόστολε, καθικετεύοντες πειρατηρίων παντοίων, λυτρωθῆναι ἅπαντας τῇ μεσιτείᾳ Σου.

Ἔχοντές Σου τήν Κάραν, οἱ τῇ Μονῇ ἔνδοξε, τοῦ Ἐπιστηθείου οἰκοῦντες Θωμᾶ Πανεύφημε, θησαυρόν μέγιστον, καί περιβόητον κλέος, Σοῦ πιστῶς δεόμεθα, σκέπε τούς δούλους Σου.

Ἡ Σή θεῖα θεόφρων ψυχή Θωμᾶ μέγιστε, ἐν τῇ τῶν Ἀγγέλων σκηνώσει φαιδρῶς ἀγάλλεται, ἡ δέ αἰδέσιμος καί Ἱερά Κεφαλή Σου, ἐπί γῆς τά θαύματα, βρύει Ἀπόστολε.

Παναγία Παρθένε, τόν Λυτρωτήν τέξασα, λύτρωσαι παντοίων κινδύνων, τούς σοι προστρέχοντας, καί ἀνυμνοῦντας Σέ, Θεοκυῆτορ Παρθένε, τῶν πιστῶν βοήθεια Μόνη Πανύμνητε.

Ὠδή δ΄. Εἰσακήκοα Κύριε

Ἀποστόλων ὡς μέγιστος, λύτρωσαι κινδύνων τούς Σέ γεραίροντας, καί προστρέχοντας τῇ σκέπῃ Σου, ὅπως Σέ ἀπαύστως μακαρίζομεν.

Σύν τῷ Θείῳ Θεόσοφε, Μάκαρ Θεολόγῳ, ὡς παριστάμενος, τῷ Δεσπότῃ Σου ἱκέτευσον, ὅπως λυτρωθῶμεν πάσης θλίψεως.

www.tezaurliturgic.ro

Σου ἡ Κάρα Θαυμάσιε, βρύει τάς ἰάσεις Θωμᾶ Ἀπόστολε, τοῖς πιστῶς ταύτῃ προσ-στρέχουσι, καί ἀσπαζομένους Ἱερώτατε.

Ταῖς τῆς Μητρός Σου δεήσεσι, καί τοῦ Ἀποστόλου Σου Χριστέ μου δώρησαι, τοῖς ἱκέταις Σου τήν ἄφεσιν τῶν πλημμελημάτων ὑπεράγαθε.

Ὠδή ε΄. Φώτισον ἡμᾶς

Λύτρωσαι ἡμᾶς ἐκ κινδύνων καί πταισμάτων πολλῶν ὡς τοῦ Κυρίου μαθητής Μέγιστος, τούς καθ' ἑκάστην τιμῶντας Σε πανaοίδιμε.

Οἱ ἐν πειρασμοῖς καί πολλαῖς κυκλούμενοι ταῖς περιστάσεσι, πρός τόν Δεσπότην Σου μεσίτην ἔχοντες, Σοί Θεηγόρε καταφεύγομεν Ἀπόστολε.

Σοῦ ἡ Ἱερά, Κεφαλή Θωμᾶ πανένδοξε, ὡς κεκτημένη χάριν ἔνδοξε, τοῖς εὐσεβέσι δωρεῖται τά ἰάματα.

Ἴασαι Ἁγνή τῆς ψυχῆς μου τήν ἀσθένειαν, ἐπισκοπῆς Σου ἀξιώσασα, καί τήν ὑγείαν τῇ πρεσβείᾳ Σου παράσχου μοι.

Ὠδή στ΄. Τήν δέησιν ἐκχεῶ

Ὡς μέγιστος, ὥς περ ἄλλος ἥλιος, ἡ Σή Κάρα ἐν τῇ Πάτμῳ ὁρᾶται, καί τοῖς πι-

www.tezaurliturgic.ro

στῶς προσπελάζουσι ταύτῃ, Θωμᾶ θεόφρων, δωρεῖται ἰάματα, 'Απόστολε θεῖε Χριστοῦ, Οἰκουμένης προστάτα Θερμότατε.

Τοῖς ἴχνεσι τοῦ Κυρίου Πάνσοφε, ἠκολούθησας Θωμᾶ Σύ προθύμως, καί μιμητής τῶν Αὐτοῦ παθημάτων, γέγονας ὄντως διό Σε ἐδόξασεν, ἐν οὐρανῷ καί ἐπί γῆς, ὡς Αὐτοῦ Μαθητήν γνησιώτατον.

Τήν δέησιν, μή ἐλλείπῃς ἔνδοξε, τῷ Δεσπότῃ σου προσάγων ἀπαύστως, ὑπέρ ἡμῶν ᾧ Θωμᾶ ἱκετεύων, σύν τῷ λαμπρῷ Θεολόγῳ Θεσπέσιε, τῶν πόθων Σου τήν Κεφαλήν, προσκυνούντων ἀεί καί τιμώντων Σε.

Επέβλεψεν, ἐπί Σοί ὁ Κύριος, τήν ἐμήν ἀνακαινίζων οὐσίαν, ὡς δυνατός μεγαλεῖα ποιήσας, Θεογεννήτορ ὡς ἔφη Πανάμωμε, καί ἔσωσέ με διά Σοῦ, ἐκ φθορᾶς ὁ Θεός μου ὡς εὔσπλαχνος.

Διάσωσον ἀπό κινδύνων Θωμᾶ Θεηγόρε τούς ἐν πίστει εἰλικρινῶς πρός σέ καταφεύγοντας κ' ἴασαι τά πολλά ἡμῶν πάθη.

Διάσωσον ἀπό κινδύνων τούς δούλους Σου Θεοτόκε ὅτι πάντες μετά Θεοῦ, εἰς Σέ καταφεύγομεν καί ἴασαι τῆς ψυχῆς μου τό ἄλγος.

www.tezaurliturgic.ro

Ὁ Ἱερεύς μνημονεύει εἶτα τό Κοντάκιον

Τῇ φιλοπράγμονι δεξιᾷ, τήν ζωοπάροχόν Σου πλευράν, ὁ Θωμᾶς ἐξηρεύνησε, Χριστέ ὁ Θεός· συγκεκλεισμένων γάρ τῶν θυρῶν ὡς εἰσῆλθες, σύν τοῖς λοιποῖς ἀποστόλοις ἐβόα σοι Κύριος ὑπάρχεις καί Θεός μου.

Καί εὐθύς τό Προκείμενον Ἦχος δ΄

Εἰς πᾶσαν τήν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ καί εἰς τά πέρατα τῆς οἰκουμένης τά ρηματα αὐτοῦ. (γ΄)

## ΕΥΑΓΓΕΛΙΟΝ
### Ἐκ τοῦ κατά Ἰωάννην

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς. Μή ταρασσέσθω ὑμῶν ἡ καρδία, πιστεύετε εἰς τόν Θεόν καί εἰς ἐμέ πιστεύετε. Ἐν τῇ οἰκίᾳ τοῦ Πατρός μου Μοναί πολλαί εἰσίν· εἰ δέ μή εἶπον ἄν ὑμῖν. Πορεύομαι ἑτοιμάσαι τόπον Ὑμῖν. Καί ἐάν πορευθῶ καί ἑτοιμάσω τόπον Ὑμῖν, πάλιν ἔρχομαι καί παραλήψομαι Ὑμᾶς πρός ἐμαυτόν, ἵνα, ὅπου εἰμί ἐγώ, καί Ὑμεῖς ἦτε, καί ὅπου ἐγώ ὑπάγω οἴδατε, καί τήν ὁδόν οἴδατε. Λέγει αὐτῷ Θωμᾶς. Κύριε, οὐκ οἴδαμεν ποῦ ὑπάγεις, καί πῶς δυνάμεθα τήν ὁδόν εἰδέναι; Λέγει αὐτῷ ὁ Ἰησοῦς. Ἐγώ εἰμί ἡ ὁδός καί ἡ ἀλήθεια καί ἡ ζωή. Οὐδείς ἔρχεται πρός τόν Πατέρα, εἰμή δι' ἐμοῦ. Εἰ ἐγνώκειτέ με, καί τόν Πατέρα μου ἐγνώ-

www.tezaurliturgic.ro

κειτε ἄν· καί ἀπ' ἄρτι γινώσκετε αὐτόν καί ἑωράκατε Αὐτόν.

Δόξα. Ταῖς τοῦ Ἀποστόλου.
Καί νῦν. Ταῖς τῆς Θεοτόκου.
Στίχος. Ἐλεῆμον ἐλέησόν με ὁ Θεός
Καί τό παρόν Ἦχος πλ. α´

Φιλάνθρωπε, μέγα καί ἀνείκαστον τό πλῆθος τῶν οἰκτιρμῶν Σου, ὅτι ἐμακροθύμησας, ὑπό Ἰουδαίων ῥαπιζόμενος, ὑπό Ἀποστόλου ψηλαφώμενος, καί ὑπό τῶν ἀθετούντων Σε πολυπραγμονούμενος. Πῶς ἐσαρκώθης! Πῶς ἐσταυρώθης ὁ ἀναμάρτητος! Ἀλλά συνέτισον ἡμᾶς ὡς τόν Θωμᾶν βοᾶν Σοι· ὁ Κύριός μου καί ὁ Θεός μου δόξα Σοι.

Τό Σῶσον ὁ Θεός τόν λαόν σου κ.τ.λ.

Ὠδή ζ´. Οἱ ἐκ τῆς Ἰουδαίας

Τῶν Ἀγγέλων ὑπάρχων, ἰσοστάσιος ὄντως Θωμᾶ πανένδοξε, καί τούτοις συγχορεύων, ἐκλύτρωσαι κινδύνων, σύν αὐτοῖς τούς κραυγάζοντας, ὁ τῶν Πατέρων Θεός εὐλογητός εἶ.

Ἀπιστήσας Θεόφρων, τῇ Χριστοῦ Ἀναστάσει, Θωμᾶ πανεύφημε, καί τήν πλευράν τήν τούτου, τάς τρήσεις τε τῶν ἥλων ψηλαφήσας ἐκραύγαζες, ὁ τῶν Πατέρων ἡμῶν Θεός εὐλογητός εἶ.

www.tezaurliturgic.ro

Τοῖς πιστῶς προσιοῦσι, τῇ Ἁγίᾳ Σου Κάρα, Θωμᾶ παμμέγιστε, παρέχεις τάς ἰάσεις, καί ρύεσαι κινδύνων, πολλῶν ἐπερχομένων ἵνα πόθῳ κραυγάζωσιν. Ὁ τῶν Πατέρων ἡμῶν Θεός εὐλογητός εἶ.

Δαπανήσας ἀσώτως, τῆς ζωῆς μου Παρθένε, ἐν ἀμελείᾳ πολλῇ, τόν χρόνον καί βοῶ Σοι, διέγειρόν με σῶσον, τῷ Υἱῷ Σου, κραυγάζοντας, ὁ τῶν Πατέρων ἡμῶν Θεός εὐλογητός εἶ.

Ὠδή η΄. Τόν Βασιλέα

Τῇ σῇ πρεσβείᾳ τάς τῶν ψυχῶν ἀρρωστίας, καί σωμάτων θεραπεύεις παμμάκαρ, ὅθεν Σέ ὑμνοῦμεν Ἀπόστολε Κυρίου.

Ὡς παρρησίαν Σύ κεκτημένος Θεόφρων, πρός Χριστόν αὐτόν Θωμᾶ δυσώπει, ἵνα λυτρωθῶμεν κινδύνων καί βασάνων.

Η Σή Κάρα ἱερά καί σεβάσμιος οὖσα, τοῖς πιστοῖς παρέχει τάς ἰάσεις, ὅθεν σέ τιμῶμεν Θωμᾶ εἰς τούς αἰῶνας.

Τῶν πειρασμῶν Σύ τάς προσβολάς ἐκδιώκεις, καί παθῶν τάς ἐφόδους Παρθένε, ὅθεν Σέ ὑμνοῦμεν εἰς πάντας τούς αἰῶνας.

www.tezaurliturgic.ro

## Ὠδή θ΄. Κυρίως Θεοτόκον

Εἰρήνην οὐρανόθεν, Θωμᾶ Θεηγόρε, καταπεμφθῆναι δυσώπει Πανόλβιε, τοῖς καθαρᾷ διανοίᾳ Σέ μακαρίζουσι.

Χαρᾶς καί εὐφροσύνης, ἔμπλησον Θεόφρων, τούς μετά πόθου τιμῶντας Σε ἔνδοξε, καί εὐλαβῶς προσκυνοῦντας τήν θείαν Κάραν Σου.

Σύν τῷ ἐπιστηθίῳ Μάκαρ Θεολόγῳ, τῷ τοῦ Δεσπότου Σου θρόνῳ ἱστάμενος, μή διαλείπης πρεσβεύων ὑπέρ τῶν δούλων Σου.

Λιμήν καί προστασία, τῶν Σοί προσφευγόντων, γενοῦ Παρθένε καί τεῖχος ἀκράδαντον, καταφυγή τε καί σκέπη καί ἀγαλλίαμα.

## Τό Ἄξιον Ἐστίν καί τά παρόντα Μεγαλυνάρια τοῦ Ἀποστόλου Θωμᾶ

Τόν Χριστοῦ αὐτόπτην καί Μαθητήν, θεῖον ὑπηρέτην, ψηλαφήσαντα τήν πλευράν, τάς τρήσεις τῶν ἥλων καί πίστει στηριχθέντα, Θωμᾶν τόν Θεηγόρον, ὕμνοις τιμήσωμεν.

Χαίροις Ἀποστόλων ἡ καλλονή, καί Μονῆς τῆς Πάτμου, ὁ πολύτιμος θησαυρός, καί πάντων τῶν νοσούντων, ὁ Ἰατρός ὁ Μέγας· Θωμᾶ τοῦ Χριστοῦ Μύστα, σκέπε τούς δούλους Σου.

www.tezaurliturgic.ro

Αἴτησαι εἰρήνην παρά Θεοῦ, ὁμόνοιαν σκέπην, μέχρι τέλους ὑπομονήν, ψυχῶν σωτηρίαν, ἡμῖν τοῖς σοῖς οἰκέταις ὡς ἔχων παρρησίαν θεῖε Ἀπόστολε.

Τοῦ Ἁγίου Ἀντωνίου
(προστάτου πόλεως Περιστερίου)

Χαίροις τῶν Ὁσίων ὁ Ἀρχηγός καί τῆς ἰσαγγέλου πολιτείας καθηγητής, χαίροις τῆς ἐρήμου, στυλοειδής νεφέλη, Ἀντώνιε Παμμάκαρ πατέρων καύχημα.

Τῆς ἁγίας Μαρίνας

Τόν Ναόν Σου τοῦτον τόν Ἱερόν φύλαττε Μαρίνα, ἐκ σκανδάλων τοῦ πονηροῦ χάριζε ὑγείαν τοῖς ὑπηρετοῦσι, σεμνή παρθενομάρτυς ἀξιοθαύμαστε.

Πᾶσαι τῶν Ἀγγέλων

Τρισάγιον

Καί τό τροπάριον

*«Ὡς πανίερον χρῆμα...»*

Ὁ Ἱερεύς μνημονεύει

Εἶτα ἐκτενής καί Ἀπόλυσις

*Ὅτε δέ ἀσπάζονται τήν Ἁγίαν Κάραν, ψάλλουσι τό παρόν τροπάριον. «Ὅτε ἐκ τοῦ ξύλου...»* Ἦχος β΄.

Ἔχων παρρησίαν πρός Θεόν, πάντων τῶν πιστῶς προσκυνούντων τήν Σήν Σεπτήν

www.tezaurliturgic.ro

Κεφαλήν, μέγιστε 'Απόστολε θερμῶς προΐστασο, τῶν κινδύνων ρυόμενος, παθῶν ἀπαλλάτων, πάσης περιστάσεως δεινῶν λυτρούμενος, νέμων καί ψυχῶν σωτηρίαν, θείαις Σου ἐντεύξεσιν ὅπως Σέ Θωμᾶ ἀεί πιστῶς γεγραίρωμεν.

Δι' εὐχῶν

## ΕΥΧΗ ΕΙΣ ΤΟΝ ΑΠΟΣΤΟΛΟΝ ΘΩΜΑΝ

Σοί προσπίπτομεν 'Απόστολε, οἱ διά τάς ἁμαρτίας ἡμῶν δικαίως βασανιζόμενοι, Σοῦ δεόμεθα οἱ ἁμαρτωλοί καί ἀπαρρησίαστοι, οὐ σμικράν πρός τόν Δεσπότην εἰδότες παρρησίαν. Σέ ἔχοντα. Οὐ γάρ τολμῶμεν ἀμέσως προσιέναι τῷ κρείττονι, ἵνα μή εἰς ἀγανάκτησιν πλείονα διεγείρωμεν τόν Δίκαιον Κριτήν, διά τό πλῆθος τῶν ἀνομιῶν ἡμῶν. Διό δή μεσίτην Σέ προβαλλόμεθα, ἵνα ἐξιλεώσης τόν δικαίως καθ' ἡμῶν ὀργιζόμενον. Θέλημα γάρ τῶν φοβουμένων αὐτόν ποιεῖ, καί τῆς δεήσεως αὐτόν ποιεῖ, καί τῆς δεήσεως αὐτῶν εἰσακούει, καί δίδωσι πάντα, τά παρά τῶν ἀγαπώντων αὐτόν αἰτήματα. Σπλαχνήσθητι ἐφ' ἡμᾶς 'Απόστολε. Δακρυρροοῦντες τῇ Σκέπῃ Σου καταφεύγομεν, θερμῶς καθικετεύοντες, καί δεόμενοι. 'Ελέησον τούς ἱκέτας Σου, 'Απόστολε ὀχετοῖς δακρύων περιρραίνοντες τήν Θεόστεπτον Κάραν Σου. Κάμφθητι τοῖς στεναγμοῖς ἡμῶν. Ἴδε τά δάκρυα. 'Επάκουσον τῶν παρακαλούντων Σε. Πρόφθασον διά τῆς πρεσβείας Σου. 'Επιτάχυνον, ρῦσαι ἡμᾶς τῆς ἐπικειμένης ἀνά-

www.tezaurliturgic.ro

γκης, καί ἀπάλλαξον τῶν ἀσθενῶν ἡμῶν· μόνον θέλησον Ἀπόστολε καί ἡμεῖς ἐκ τῶν κινδύνων λυτρωθείημεν. Τηρήσει γάρ ὁ Δεσπότης ἡμῶν Χριστός ἥν ὑπέσχετο ὑπόσχεσιν, λέγων. «Ὅσα ἄν αἰτήσητε ἐν τῷ ὀνόματί μου γεννήσεται ὑμῖν». Παράβλεψον τάς ἀνομίας ἡμῶν μιμητά τοῦ Δεσπότου Σου. Οἴδαμεν γάρ ὅτι διά τάς ἁμαρτίας ἡμῶν ὠργίσθη ἡμῖν ὁ Θεός, ἀλλά κατεύνασον αὐτοῦ τήν δικαίαν ὀργήν. Ἐξευμένισον τόν οὐκέτι δούλους, ἀλλά φίλους καλοῦντα ἡμᾶς τούς αὐτόν ἀγαπήσαντας· εἰ γάρ ἰσχύει πολλά ἐνεργουμένη δικαίου δέησις, πολλῷ μᾶλλον ἰσχύει τά μέγιστα τῶν Ἀποστόλων ἡ δέησις. Δεῖξον αὐτῷ τούς ἀγῶνας Σου Ἀπόστολε. Περιβαλοῦ τούς ὑπέρ τῆς ἀγάπης ἱδρῶτας, καί ἀνάμνησον τῆς ἀκαταπαύστου σου προσευχῆς καί παννύχου γονυκλισίας καί τότε πάντως ἡμεῖς τῶν κινδύνων καί ἀσθενειῶν ἐρρύσθημεν. Χαίρει γάρ ὁ Δεσπότης τοῖς πρός τῶν φίλων αὐτοῦ ζητήμασι. Ναί Ἀπόστολε τοῦ Χριστοῦ. Ἀπάλλαξον ἡμᾶς τῆς τιμωρητικῆς καί ἐκδικητικῆς θείας δυνάμεως καί περιχαράκωσον ἡμᾶς τῇ τοῦ ἐλέους αὐτοῦ δυνάμει, ἐν ᾗ εὐφραίνεται ὁ παρ' αὐτοῦ χειροτονηθείς Βασιλεύς τῶν γεηρῶν ἁπάντων ἄνθρωπος, διά τοῦ κατ' εἰκόνα θείαν καί καθ' ὁμοίωσιν ἀξιώματος. Μή ἐκπέσοιμεν Ἀπόστολε τῆς πρός Σέ ἡμῶν ἐλπίδος, ἵνα δοξάζηται πανταχοῦ τό Σόν ἅγιον ὄνομα ἐν Χριστῷ, Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.